# Jeremia 35

Septuaginta (LXX)

**1** καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει σεδεκια βασιλέως ιουδα ἐν μηνὶ τῷ πέμπτῳ εἶπέν μοι ανανιας υἱὸς αζωρ ὁ ψευδοπροφήτης ὁ ἀπὸ γαβαων ἐν οἴκῳ κυρίου κατ' ὀφθαλμοὺς τῶν ἱερέων καὶ παντὸς τοῦ λαοῦ λέγων

**2** οὕτως εἶπεν κύριος συνέτριψα τὸν ζυγὸν τοῦ βασιλέως βαβυλῶνος

**3** ἔτι δύο ἔτη ἡμερῶν ἐγὼ ἀποστρέψω εἰς τὸν τόπον τοῦτον τὰ σκεύη οἴκου κυρίου

**4** καὶ ιεχονιαν καὶ τὴν ἀποικίαν ιουδα ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως βαβυλῶνος

**5** καὶ εἶπεν ιερεμιας πρὸς ανανιαν κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ καὶ κατ' ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ κυρίου

**6** καὶ εἶπεν ιερεμιας ἀληθῶς οὕτω ποιήσαι κύριος στήσαι τὸν λόγον σου ὃν σὺ προφητεύεις τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου κυρίου καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ βαβυλῶνος εἰς τὸν τόπον τοῦτον

**7** πλὴν ἀκούσατε τὸν λόγον κυρίου ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα ὑμῶν καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ

**8** οἱ προφῆται οἱ γεγονότες πρότεροί μου καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἐπροφήτευσαν ἐπὶ γῆς πολλῆς καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον

**9** ὁ προφήτης ὁ προφητεύσας εἰς εἰρήνην ἐλθόντος τοῦ λόγου γνώσονται τὸν προφήτην ὃν ἀπέστειλεν αὐτοῖς κύριος ἐν πίστει

**10** καὶ ἔλαβεν ανανιας ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου ιερεμιου καὶ συνέτριψεν αὐτούς

**11** καὶ εἶπεν ανανιας κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ λέγων οὕτως εἶπεν κύριος οὕτως συντρίψω τὸν ζυγὸν βασιλέως βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν καὶ ᾤχετο ιερεμιας εἰς τὴν ὁδὸν αὐτοῦ

**12** καὶ ἐγένετο λόγος κυρίου πρὸς ιερεμιαν μετὰ τὸ συντρῖψαι ανανιαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου αὐτοῦ λέγων

**13** βάδιζε καὶ εἰπὸν πρὸς ανανιαν λέγων οὕτως εἶπεν κύριος κλοιοὺς ξυλίνους συνέτριψας καὶ ποιήσω ἀντ' αὐτῶν κλοιοὺς σιδηροῦς

**14** ὅτι οὕτως εἶπεν κύριος ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν ἐργάζεσθαι τῷ βασιλεῖ βαβυλῶνος

**15** καὶ εἶπεν ιερεμιας τῷ ανανια οὐκ ἀπέσταλκέν σε κύριος καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ

**16** διὰ τοῦτο οὕτως εἶπεν κύριος ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς γῆς τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ

**17** καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ



Druckausgabe erzeugt am 03.08.2025 auf bibelkommentare.de

Druckausgabe erzeugt am 03.08.2025 auf bibelkommentare.de